καὶ συντεθὲν πρῶτον καὶ πέμπτον τὸ ΑΗ πρὸς δεύτερον τὸ
Γ τὸν αὐτὸν ἕξει λόγον. καὶ τρίτον καὶ ἕκτον τὸ ΔΘ πρὸς
τέταρτον τὸ Ζ. ἐπεὶ γάρ ἐστιν ὡς τὸ ΒΗ πρὸς τὸ Γ. οὕτως
τὸ ΕΘ πρὸς τὸ Ζ. ἀνάπαλιν ἄρα ὡς τὸ Γ πρὸς τὸ ΒΗ. οὕ
τως τὸ Ζ πρὸς τὸ ΕΘ. ἐπεὶ οὖν ἐστιν ὡς τὸ ΑΒ πρὸς τὸ Γ. οὕ
τως τὸ ΔΕ πρὸς τὸ Ζ. ὡς δὲ τὸ Γ πρὸς τὸ ΒΗ. οὕτως τὸ Ζ
ἀπὸ τοῦ κβ: πρὸς τὸ ΕΘ. δι' ἴσου ἄρα ἐστὶν ὡς τὸ ΑΒ πρὸς τὸ ΒΗ. οὕ
τως τὸ ΔΕ πρὸς τὸ ΕΘ. καὶ ἐπεὶ διῃρημένα
μεγέθη ἀνάλογόν ἐστι. καὶ συντεθέντα ἀνά
ἀπὸ τοῦ ιη: λογον ἔσται. ὡς ἄρα τὸ ΑΗ πρὸς τὸ ΗΒ. οὕ
τως τὸ ΔΘ πρὸς τὸ ΘΕ. ἔστι δὲ καὶ ὡς τὸ ΒΗ
πρὸς τὸ Γ. οὕτως τὸ ΕΘ πρὸς τὸ Ζ. δι' ἴσου
ἀπὸ τοῦ κβ: ἄρα ἐστὶν ὡς τὸ ΑΗ πρὸς τὸ Γ. οὕτως τὸ ΔΘ
πρὸς τὸ Ζ. ἐὰν ἄρα πρῶτον πρὸς δεύτε
ρον τὸν αὐτὸν ἔχῃ λόγον. καὶ τρίτον πρὸς τέταρτον. ἔχῃ
δὲ καὶ πέμπτον πρὸς δεύτερον τὸν αὐτὸν λόγον καὶ τὰ λοιπά:



ἐπιτομο γενων: κε Ἐὰν τέσσαρα μεγέθη ἀνάλογον ᾖ, τὸ μέγιστον αὐτῶν καὶ
τὸ ἐλάχιστον. τῶν δύο τῶν λοιπῶν μείζονά ἐστιν. ἔστω
τέσσαρα μεγέθη ἀνάλογον τὰ ΑΒ. ΓΔ. Ε. Ζ. ὡς τὸ ΑΒ
πρὸς τὸ ΓΔ. οὕτως τὸ Ε πρὸς τὸ Ζ. ἔστω δὲ μέγιστον μὲν
αὐτῶν τὸ ΑΒ. ἐλάχιστον δὲ τὸ Ζ. λέγω ὅτι τὰ ΑΒ Ζ. τῶν
ΓΔ. Ε μείζονά ἐστι. κείσθω γὰρ τῷ μὲν Ε. ἴσον τὸ ΑΗ.
τῷ δὲ Ζ. ἴσον τὸ ΓΘ. ἐπεὶ οὖν ἐστιν ὡς τὸ
ΑΒ πρὸς τὸ ΓΔ. οὕτως τὸ Ε πρὸς τὸ Ζ. ἴ
σον δὲ τὸ μὲν Ε. τῷ ΑΗ. τὸ δὲ Ζ. τῷ ΓΘ.
ἔστιν ἄρα ὡς τὸ ΑΒ πρὸς τὸ ΓΔ. οὕτως τὸ ΑΗ



ἀπὸ τοῦ ιθ: πρὸς τὸ ΓΘ. καὶ ἐπεί ἐστιν ὡς ὅλον τὸ ΑΒ πρὸς ὅλον τὸ ΓΔ. οὕ
τως ἀφαιρεθὲν τὸ ΑΗ πρὸς ἀφαιρεθὲν τὸ ΓΘ. καὶ λοι
πὸν ἄρα τὸ ΗΒ πρὸς λοιπὸν τὸ ΘΔ ἐστὶν ὡς ὅλον τὸ ΑΒ
πρὸς ὅλον τὸ ΓΔ. μεῖζον δὲ τὸ ΑΒ τοῦ ΓΔ. μεῖζον ἄρα καὶ
τὸ ΗΒ τοῦ ΘΔ. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ μὲν ΑΗ τῷ Ε. τὸ δὲ ΓΘ
τῷ Ζ. τὰ ἄρα ΑΗ. Ζ. ἴσα ἐστὶ τοῖς ΓΘ. Ε. καὶ ἐπεὶ ἐὰν ἀνι
σοις ἴσα προστεθῇ. τὰ ὅλα ἄνισά ἐστιν. ἐὰν ἄρα τῶν
ΗΒ. ΘΔ ἀνίσων ὄντων καὶ μείζονος τοῦ ΗΒ. τῷ μὲν ΗΒ
προστεθῇ τὰ ΑΗ. Ζ. τῷ δὲ ΘΔ προστεθῇ τὰ ΓΘ. Ε. συνά
γεται τὰ ΑΒ. Ζ μείζονα τῶν ΓΔ. Ε. ἐὰν ἄρα τέσσαρα με
γέθη ἀνάλογον ᾖ καὶ τὰ λοιπά:

BIBLIOTHECA BODLEIANA

……

εὐκλείδου στοιχ ε

[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]